Επισκοπή Ραιδεστ

Δύο ανέκδοτα έγγραφα περί της Επισκοπής Ραιδεστού
υπό Αθαν. Παπαδοπούλου Κεραμέως.

Ελ. φ. σημ. Καραβίδη
ιζ' φύλλ. σημ. 86.

Β.

Το δεύτερον έγγραφον, εκδοθέν τω 1702 έτει του πατριαρχικού Γαβριήλ Γ', αναγινώσκεται εν τω αυτώ κώδικι (φ. 96α - 97) ως έπεται·

Ενωτικόν της επισκοπής Ραιδεστού
τη μητροπόλει Ηρακλείας.

Γαβριήλ ελέω Θεού κ. τ. λ.

Ο χρόνος ὁ διαπαντός ρεόμενος συμμεταβάλλειν είωθεν και συμπεριφέρειν πάντα τα υπ' αυτόν, μεταβάλλων τε και εξαλλάσσων οτέ μεν επί τού κρείττονος εις τό χείρον, οτέ δε τουμπαλιν, και πολλάκις μεν τας ανθούσας και ακμαζούσας των πόλεων, εις δυσπραγίαν και ταπεινότητα κατεβίβασεν, ώστε ολίγου δε και τό τούτων όνομα και μνήμην εις λήθης καταποντίζειν βυθόν· ενίοτε δ' αὖ τας ταπεινάς και σχεδόν αγνώστους εις ρέοντα και κρείττω μεταστήναι φιλεί κατάστασιν. Όθεν και οι κατά καιρούς διέποντες την του Χριστού Εκκλησίαν θεόθεν ειληχότες, τη κατά τας εξ εγγενείς και φοράς του ρέοντος χρόνου συμβαίνειν αιτίας ταις εφεξής καταστάσεσι εφαρμόζοντο

σι τὴν περὶ αὐτῆς διοίκησιν καὶ ἐξοικονόμη-
σιν, πάντα μέντοι γε κατὰ τὴν ἐπισκοπικὴν
ὑποθήκην καὶ παρεγγύησιν, εὐάρεστα καὶ εὐ-
πρόσδεκτα τῷ Κυρίῳ, καὶ πρὸς οἰκοδομὴν διοι-
κοῦντες, καὶ διεξάγοντες. Ἐπειδὴ τοιγαροῦν καὶ ἡ
Ραιδεστοῦ πολιτεία τῇ ἐξ ὕψους εὐμενείᾳ καὶ τῇ
τῶν ἐνοικούντων χριστιανῶν ἐπιμελείᾳ, καὶ σπου-
δῇ, ὅσον γε ἐφικτὸν ἐν τῇ ἐνεστώσῃ τοῦ ἡμετέρου
γένους δυστυχίᾳ, μεγάλης πόλεως εἴληφε σχῆμα,
τῷ τε πλήθει τῶν ἐν αὐτῇ διατριβόντων χριστια-
νῶν, καὶ τῷ ἀνθοῦντι τῆς ἐμπορίας, καὶ ἄλλως ἐπει-
σι ταῖς ἐνδόξοις προσοικειοῦν ταῖς πόλεσι κάλ-
λος τε καὶ εὐπρέπειαν τῶν ὑπὸ τὸν οἰκουμενικὸν
τῆς Κωνσταντινουπόλεως θρόνον τελουσῶν μητροπό-
λεων, οὐδεμιᾶς ἀπολείπεται κατόπιν, ἡ δὲ ἀρχαιο-
τάτη μητρόπολις Ἡρακλείας, ὑπὸ τοῦ πανδαμά-
τορος χρόνου τὴν πρὶν εὐπρέπειαν ἀφαιρεθεῖσα,
οὐκ ἔχει ἀρκούντως ὑποδέχεσθαι, καὶ προση-
κόντως περιθάλπειν τὴν αὐτῆς προστατεύοντα,
συνοδικῆς σκέψεως γενομένης, παρόντος τοῦ θεο-
φιλεστάτου κυρίου Παρθενίου τοῦ ποτὲ μὲν ἐπι-
σκοπεύσαντος τῆς Ραιδεστοῦ, ὕστερον δὲ καὶ διὰ
συνοδικῆς ἀδείας εἰς ἀρχιεπίσκοπον τιμηθέν-
τος, καὶ ἀποδεξαμένου συγκατατεθειμένου, καὶ ὑ-
πείξει προαιρουμένου, δέον ἐγνώκαμεν ἐπι-



θῆναι τὴν ἐν Ραιδεστῷ ἐπισκοπὴν τῇ ἁγίᾳ μη-
τροπόλει Ἡρακλείας, ἵνα τῇ ταύτης οἰκονομίᾳ
τήν τε τοῦ τῆς Ἡρακλείας θρόνου ἔνδειαν παρα-
μυθησώμεθα, καὶ τὴν πολιτείαν Ραιδεστοῦ τὴν
τό γε νῦν ἔχον ἀνθοῦσαν, καὶ τὴν τῆς ἐπισκοπῆς
προσηγορίαν μονονουχὶ ὑπερβαίνουσαν, ἀρχιερα-
τικῆς ἐπισκέψεως ἀξιώσωμεν. Γράφομεν τοίνυν
καὶ ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ
ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν
ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ
συλλειτουργῶν, καὶ ἑνοῦμεν τῇ μητροπόλει Ἡρα-
κλείας τὴν ἐπισκοπὴν Ραιδεστοῦ καὶ ἀμφοτέ-
ρας εἰς μίαν καὶ μόνην ἐπαρχίαν καθιστῶ-
μεν, καὶ ἐπιτρέπομεν τοῖς ἐν Ραιδεστῷ χριστια-
νοῖς ὑποκεῖσθαι τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἡ-
ρακλείας, προέδρῳ τῶν ὑπερτίμων, καὶ ἐξάρχῳ πάσης
Θρᾴκης καὶ Μακεδονίας, τῷ ἐν ἁγίῳ Πνεύματι
ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ
Νεοφύτῳ, καὶ γινώσκειν αὐτὸν γνήσιον ἀρχιερέα
καὶ ποιμένα, καὶ τὴν αὐτόθι ἐπισκοπὴν καθέ-
δραν τῆς αὐτοῦ ἱερότητος ἀδιασπάστως, καὶ ἀ-
μεταστρέπτως ὑποτάσσεσθαι, ἔχειν τε τὸ κῦρος καὶ
τὴν ἰσχὺν ταύτην τὴν διὰ συνοδικῆς ἀποφάσεως
γεγενημένην ἕνωσιν εἰς αἰῶνα τὸν ἅπαντα, ὥστε
ὑπάρχειν ἀεὶ καὶ τὴν Ραιδεστὸν τῇ μητροπόλει

Ἡρακλείας συγκαθημένων τε, καὶ συμπαρισταμένων
ἐνδημούντων καὶ ἀδελφῶν, τόν τε τὴν προστα-
σίαν αὐτῶν ἐμπεπιστευμένον, τὴν τοῦ ἱερωτάτου
μητροπολίτου Ἡρακλείας καὶ Ραιδεστοῦ φέρον-
ψήφους, ἔχειν τε καὶ ταύτην τὴν προνομίαν, ὥστε
τὴν ἐπισκοπὴν ἐπαρχίαν Ἡρακλείας ὑπὸ τὴν ἐξου-
σίαν καὶ διοίκησιν αὐτοῦ, προμηθεύοντα ἀρχι-
ερατικῶς, καὶ πρόνοιαν ποιούμενον πνευματικῶς
τῶν ἐν αὐτῇ χριστιανῶν, ἐφορῶντα καὶ ἐπιτελοῦν-
τα, καὶ περιποιοῦντα αὐτοῖς, καὶ πάντα τὰ τῷ
ἀρχιερεῖ ἀνήκοντα ὡς ἐπὶ γνησίου διέξοδον ἢ αὐ-
τοῦ Πρόεδρος ἐπιτελοῦντα, μετὰ καὶ τῆς τοῦ ἱεροῦ συν-
θρόνου ἐπιδιδόμενα, ἄνευ τινὸς ἀμφισβητήσεως καὶ ἀν-
τιρρήσεως, καὶ ἀποφαινόμενον τῶν ἐξ αὐτῆς, καὶ τῶν
ὑποκειμένων αὐτῇ χωρίων, ἐκκλησιαστικῶν ὑπο-
θέσεων, κανονικῶν φημί, συνοικεσίων τε ταύτης,
μηδενὸς τῶν ἐν τῇ Ραιδεστῷ, καὶ τοῖς ὑποκειμένοις
αὐτῇ χωρίοις τελούντων ἱερωμένων, ἢ λαϊκῶν,
ἐναντιουμένου τῇ αὐτοῦ ἱερότητι, ἀλλὰ πάντων
γινωσκόντων γνήσιον καὶ νόμιμον, ὡς κανονι-
κὸν ἀρχιερέα, καὶ πνευματικὸν αὐτῶν ποιμέ-
να, πειθομένων τε αὐτῷ, καὶ τοῦ κανονικοῦ αὐτοῦ
ὀνόματος μνημονευόντων ἐκκλησιαστικῶς, καὶ τη-
ρούντων τὰ δικαιώματα αὐτοῦ σῶα καὶ ἀνελ-
λιπῆ, ἐν βάρει ἀργίας, καὶ ἀφορισμοῦ.

Ὀρειζούσης τῆς αὐτοῦ ἱερότητος παρέχειν καὶ ἔ-
τος ἀπαραιτήτως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χρι-
στοῦ Μεγάλην Ἐκκλησίαν πάντα τὰ ἐκκλησια-
στικὰ συνήθη δικαιώματα τῆς παροικίας ταύ-
της Ῥαιδεστοῦ ἀπαραμειώτως, ζητείας φημί, χα-
ρατζίου καὶ βοηθείας, ὡς καὶ οἱ πρὸ τῆς ἤδη γενο-
μένης ἑνώσεως ἐπ' αὐτῆς ἀρχιερατεύσαντες ἐπλή-
ρουν, καθάπερ καὶ τὸ ἐν τῷ ἱερῷ κώδικι κατα + διαλαμβάνει γράμμα. Ὅθεν
στερωθὲν παρὰ τῆς αὐτοῦ ἀρχιερωσύνης πρὸς ἔνδειξιν, ἐπικύρωσίν τε,
δοθὲν συνοδικὸν ἑνωτικόν, ἢ ἐπικυρωτικὸν καὶ ἐσφράγεν τὸ τοιοῦτον
γράμμα, καὶ κατεστρώθη τῷ ἱερῷ κώδικι τῆς ἑνώσεως, ἐγένετο καὶ τὸ παρὸν
καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. [illegible] ἀρχιερατικόν, συνοδικόν
Ἐν μηνὶ ὀκτωβρίῳ, ἰνδ. ια'.

+ Ὁ Κυζίκου Κύριλλος.
+ Ὁ Νικομηδείας Παρθένιος
+ Ὁ Χαλκηδόνος Κωνστάντιος
+ Ὁ Θεσσαλονίκης Ἰγνάτιος.
+ Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος
+ Ὁ Σερρῶν Ἄνθιμος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ